[1347b] ἀρχαίαν τιμὴν ἐλάμβανεν ὁ ἰδιώτης, τὸ δὲ πλέον ἡ πόλις, καὶ εὐπόρησε χρημάτων.

8. Ἡρακλεῶται πέμποντες ναῦς τετταράκοντα ἐπὶ τοὺς ἐν Βοσπόρῳ τυράννους, οὐκ εὐπορούμενοι χρημάτων, παρὰ τῶν ἐμπόρων συνηγόρασαν τόν τε σῖτον πάντα καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον καὶ τὴν ἄλλην ἀγοράν, χρόνου διισταμένου ἐν ᾧ ἔμελλον ἀποδώσειν τὴν τιμήν. Τοῖς δὲ δὴ ἐμπόροις καλῶς εἶχε μὴ κοτυλίζειν, ἀλλ' ἁθρόα τὰ φορτία πεπρᾶσθαι. Ἐκεῖνοί τε διαδόντες διμήνου μισθὸν παρῆγον [ἀλλὰ] τὴν ἀγορὰν ἐν ὁλκάσιν, ἄνδρα ⟨τε⟩ ταμίαν ἐπέστησαν ἐφ' ἑκάστῃ τῶν νεῶν. Ἀφικομένων δ'εἰς τὴν πολεμίαν αὐτῶν ἠγόραζον οἱ στρατιῶται παρὰ τούτων ἅπαντα. Πρότερον ⟨οὖν⟩ συλλεγέντι ἀργυρίῳ ἐδίδοσαν οἱ στρατηγοὶ πάλιν τὸν μισθόν, ὥστε συνέβαινε ταὐτὸ [τὸ] ἀργύριον δίδοσθαι ἕως εἰς οἶκον ἀπῆλθον.

9. Λακεδαιμόνιοι Σαμίων δεηθέντων χρήματα αὐτοῖς εἰς τὴν κάθοδον δοῦναι, ἐψηφίσαντο μίαν ἡμέραν καὶ αὐτοὺς καὶ τοὺς οἰκέτας καὶ τὰ ὑποζύγια νηστεῦσαι, ὅσον δὲ ἐδαπάνα ἕκαστος, τοσοῦτον δοῦναι τοῖς Σαμίοις.

10. Χαλκηδόνιοι δέ, ξένων ἐν τῇ πόλει συχνῶν παρ' αὐτοῖς γινομένων, ὀφείλοντες αὐτοῖς μισθὸν οὐκ ἠδύναντο διαλῦσαι. Ἀνήγγειλαν οὖν, εἴ τις τῶν πολιτῶν ἢ μετοίκων